ἀπὸ τοῦ ἄστεως αὐτὸν ἀποπέμπονται διὰ τὸ κατὰ κράτος ἡττηθῆναι. ὅπως τε ὁ Ῥωμαίων στρατιώτης τὸ σῶμα κατετέτρωτο· ἦν δὲ τῆς τῶν Κουαρτοπάρθων τάξεως, οὕτω καλουμένων τῶν ἐν Βεροίᾳ πόλει τῆς Συρίας τὰς διατριβὰς ποιουμένων. περί τε τῆς ἐπιστρατείας Ῥωμαίων κατὰ τῆς Ἀρζανηνῆς, καὶ ὅπως Μαρουθᾶς καὶ Ἰώβιος οἱ ἡγεμόνες αὐτῆς αὐτομολοῦσι πρὸς Φιλιππικὸν καὶ Ῥωμαίους. καὶ περὶ fol. 28r τῆς ἰδιωτικῆς δυνάμεως τῆς συναθροισθείσης ὑπὸ τοῦ Καρδαρηγὰν εἰς τὸ ἐξαπατῆσαι Ῥωμαίους. καὶ ὅπως Ἡράκλειος ὁ Ἡρακλείου τοῦ αὐτοκράτορος πατὴρ ὑπὸ τοῦ Φιλιππικοῦ ἐπὶ κατασκοπῇ τῶν πολεμίων ἀποσταλεὶς παραδόξως διασώζεται. καὶ περὶ Ζαβέρτα τοῦ Πέρσου, καὶ ὅπως τῆς τοῦ Χλομαρῶν πολιορκίας Ῥωμαῖοι ἀπέσχοντο. ἔτι δὲ περὶ τῆς ἀθρόας καὶ ἀλόγου φυγῆς Φιλιππικοῦ, καὶ τῆς γενομένης ἀταξίας ⟨τοῖς⟩ Ῥωμαϊκοῖς ἐκστρατεύμασιν. περί τε τῆς ἐνεχθείσης τῷ Φιλιππικῷ νόσου. καὶ ὅτι Ἡράκλειος ὁ Ἡρακλείου τοῦ αὐτοκράτορος πατὴρ τὰς φροντίδας τῆς ἡγεμονίας ἀναδέχεται. ὅπως τε τοῖς μεσημβρινοῖς τῆς Μηδικῆς προσβάλλει ὁ τῆς Ῥωμαίων δυνάμεως ὑποστράτηγος· καὶ ὡς ἔαρος ὥρᾳ προσβάλλουσι Ῥωμαῖοι κατὰ τῆς Περσῶν πολιτείας. διαλαμβάνει τε ὡς Κομεντίολος κατὰ τῶν Ἀβάρων ἐκστρατεύει ἔχων ὑποστρατηγοὺς Μαρῖνον καὶ Κάστον, καὶ ὡς εὐδοκιμοῦσιν οὗτοι κατὰ τῶν Ἀβάρων· ὕστερον δὲ ζωγρεῖται ὁ Κάστος. καὶ ὅτι Ἀνσιμοὺθ τὸν ἔξαρχον τῆς πεζικῆς Ῥωμαίων δυνάμεως οἱ Ἄβαροι ζωγρίαν ἔλαβον, καὶ κατέδραμον τὰ ἀνὰ τὴν Θρᾴκην αἱ δυνάμεις αὐτῶν. καὶ Κομεντιόλου διάσκεψις εἰ χρὴ ἐπιτίθεσθαι τοῖς Ἀβάροις, καὶ δημηγορία ἐπὶ τὸ δεῖν ἐπιτίθεσθαι, καὶ ἀντιδημηγορία. ὅπως φωνὴ ἐμπεσοῦσα τῷ στρατῷ τῶν Ἀβάρων ἄπρακτον τὴν τοῦ Κομεντιόλου ἐπίθεσιν τὴν κατὰ τοῦ Χαγάνου εἰργάσατο. καὶ περὶ Βουσᾶ τοῦ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413017443/12 UNIVERSITÄT LEIPZIG